UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Conciliorvm Omnivm Generalivm Et Provincialivm Collectio Regia

Ephesini Concilii Generalis Pars I. Et II. Sub Cælestino papa I. anno CCCCXXXI.

**Parisiis, 1644**

Iulii sanctissimi episcopi Romae, ex epistola ad Docimum.

urn:nbn:de:hbz:466:1-15062

Visual Library

ANNO CHRISTI 431.

τὸ σῶμα· ἀλλ' ἕτερον εἶναι τὸν Χριστόν, καὶ ἕτερον τὸν τοῦ θεοῦ λόγον, τὸν πρὸ Μαρίας καὶ πρὸ αἰώνων υἱὸν ὄντα τοῦ πατρός; ἢ πῶς εἶναι χριστιανοὶ δύνανται οἱ λέγοντες, ἄλλον εἶναι τὸν υἱόν, καὶ ἄλλον τὸν τοῦ θεοῦ λόγον; Καὶ μεθ' ἕτερα πάλιν· Οὐ θέσει δὲ ταῦτα ἐγίνετο, μὴ γένοιτο, ὥς τινες πάλιν ὑπέλαβον· ἀλλ' ὄντως ἀληθείᾳ γενομένου ἀνθρώπου τοῦ σωτῆρος, ὅλου τοῦ ἀνθρώπου σωτηρία ἐγένετο. εἰ γὰρ θέσει ἦν ἐν τῷ σώματι ὁ λόγος κατ' ἐκείνους· τὸ δὲ θέσει λεγόμενον φαντασίας ἐστί· δοκήσει εὑρίσκεται καὶ ἡ σωτηρία καὶ ἡ ἀνάστασις τῶν ἀνθρώπων λεγομένη, κατὰ τὸν ἀσεβέστατον Μανιχαῖον. ἀλλὰ μὴν οὐ φαντασία ἡ σωτηρία ἡμῶν, οὐδὲ σώματος μόνου, ἀλλ' ὅλου ἀνθρώπου, ψυχῆς καὶ σώματος, ἀληθῶς ἡ σωτηρία ἡμῶν γέγονεν· ἀνθρώπινον γὰρ φύσει τὸ ἐκ Μαρίας, κατὰ τὰς θείας γραφάς, καὶ ἀληθινὸν ἦν τοῦ σωτῆρος.

pore hominem factum; sed alium Christum, alium rursum esse Dei Verbum, quod ante Mariam & sæcula erat Filius Patris? Aut quomodo Christiani nomen merentur, qui alium dicunt esse Filium, & alium Dei Verbum? *Et post alia rursum:*

Hæc autem (vt quidam existimarunt) non agebantur per extrinsecam Verbi præsentiam; absit; sed realiter & vere Saluatore homine facto, toti homini salus obuenit. Nam si iuxta illorum opinionem extrinseca præsentia Verbum in corpore erat; hoc autem ad apparentiam spectat; consequens fit (quod impiissimus docebat Manichæus) hominum salutem & resurrectionem esse rem quampiam commentitiam & imaginariam. Atqui salus nostra non est inane commentum: neque salus tantum corpori comparata est, sed toti vere homini, hoc est, animæ & corpori: siquidem Saluatoris corpus, quod secundum scripturas ex Maria sumptum est, natura humanum erat & verum.

Ἰουλίου τοῦ ἁγιωτάτου γενομένου ἐπισκόπου Ῥώμης, ἐκ τῆς πρὸς *Δόκιον ἐπιστολῆς.

* Δόκιμος

ΚΗΡΥΣΣΕΤΑΙ δὲ εἰς συμπλήρωσιν τῆς πίστεως καὶ σαρκωθεὶς ἐκ παρθένου Μαρίας ὁ τοῦ θεοῦ υἱός, καὶ σκηνώσας ἐν ἀνθρώποις, οὐκ ἐν ἀνθρώπῳ ἐνεργήσας· τοῦτο γὰρ ἐπὶ προφητῶν ἐστι καὶ ἀποστόλων· τέλειος θεὸς ἐν σαρκί, καὶ ἄνθρωπος τέλειος ἐν πνεύματι. οὐ δύο υἱοί, εἷς μὲν γνήσιος υἱὸς ἀναλαβὼν ἄνθρωπον· ἕτερος δὲ θνητὸς ἄνθρωπος, ἀναληφθεὶς ὑπὸ θεοῦ· ἀλλ' εἷς μονογενὴς ἐν οὐρανῷ, μονογενὴς ἐπὶ γῆς, θεός.

*Iulii sanctissimi episcopi Romæ, ex epistola ad Docimum.*

AD Fidei plenitudinem incarnatus quoque Dei Filius ex Maria virgine prædicatur, atque inter homines moratus, non potenti quadam vi in homine operatus: hoc enim in prophetis & apostolis locum habet: perfectus Deus in carne, & homo perfectus in spiritu: non duo filii, vnus quidem germanus filius, qui suscepit hominem; alter vero homo mortalis a Deo assumptus: sed vnus vnigenitus in cælo, vnigenitus in terra Deus.